τραγικός· ὁ μὲν οὖν νομικὸς τρόπος ἐστὶ νητοειδής· ὁ δὲ διθυραμβικὸς, μεσοειδής· ὁ δὲ τραγικὸς, ὑπατοειδής· εἴδει δὲ εὑρίσκονται πλείους, ὡς δυνατὸν δι' ὁμοιότητα τοῖς γενικοῖς ὑποβάλλειν· ἐρωτικοί τε γὰρ καλοῦνταί τινες, ὧν ἴδιοι ἐπιθαλάμιοι, καὶ κωμικοὶ, καὶ ἐγκωμιαστικοί. τρόποι δὲ λέγονται διὰ τὸ συνεμφαίνειν πως τὸ ἦθος κατὰ τὰ μέλη τῆς διανοίας: Mart. Capell. IX, §. 965 Kopp.: *sunt etiam aliae distantiae, quae et tropica mela dicuntur, aliae ὁμοιολογικά: sed haec aptius pro rebus subrogantur, nec suos magis poterunt divisiones afferre.*

§. 345, d, α: Euclid. Int. Harm. p. 21: *ἡσυχαστικὸν δὲ ἦθός ἐστι μελοποιΐας, ᾧ παρέπεται ἠρεμότης ψυχῆς καὶ κατάστημα ἐλευθέριόν τε καὶ εἰρηνικόν· ἁρμόσουσι δὲ αὐτῷ ὕμνοι, παιᾶνες, ἐγκώμια, συμβουλαὶ καὶ τὰ τούτοις ὅμοια:* s. ob. §§. 315. 318. — S. ob. §. 293, e. — S. ob. §§. 4. 332. — S. ob. §§. 4, A. 263. — Boeckh. M. P. 251. — S. ob. p. 232.

§. 346, β. Euclid. Int. Harm. p. 21: *συσταλτικὸν* [sc. *ἦθος*] *δέ, δι' οὗ συνάγεται ἡ ψυχὴ εἰς ταπεινότητα καὶ ἄνανδρον διάθεσιν· ἁρμόσει δὲ τὸ τοιοῦτον κατάστημα τοῖς ἐρωτικοῖς πάθεσι καὶ θρήνοις καὶ οἴκτοις καὶ τοῖς παραπλησίοις:* s. ob. §. 343. — S. ob. §§. 282. 293: §. 253 flgg. — Boeckh. M. P. 252. — S. ob. §. 282.

§. 347, γ: Euclid. Intr. Harm. p. 21: *ἔστι δὲ διασταλτικὸν μὲν ἦθος μελοποιΐας, δι' οὗ σημαίνεται μεγαλοπρέπεια καὶ δίαρμα ψυχῆς ἀνδρῶδες, καὶ*

Digitized by Google

§. 384. δ: Schlufsbemerkungen.
Durch die Wahl der jüngern Tonarten hervorgebrachte Nüanzen.
Die von den Alten in Behandlung der verschiedenen Theile der Harmonik festgehaltene Gleichheit der Principien.

§. 349. e: Der Uebergang von einer Art der Melopoiïa zu einer andern.
Die Gründe und Wirkung dieses Uebergangs.

§. 350. H. Rückblick auf die Lehren der Hellenen über die Harmonik.
Kurze Vergleichung der Hellenischen und neuern Harmonik.

II. Die Lehre vom Gesange bei und nach den Alten.

§. 351. A. Allgemeine Vorerinnerungen.
a: Die Lehre vom Gesange als ein Theil der Harmonik.
b: Nähere Bestimmung des hier zu betrachtenden Gesanges.
Die Stimme der Rede und die Stimme des Gesangs.

πράξεις ἡρωϊκαὶ καὶ πάθη τούτοις οἰκεῖα· χρῆται δὲ τούτοις μάλιστα μὲν ἡ τραγῳδία καὶ τῶν λοιπῶν δὲ ὅσα τούτου ἔχεται τοῦ χαρακτῆρος: s. ob. §. 343. — S. ob. §. 278. — Schneidew. ad Simon. frr. p. 3 sqq. — Dionys. Halic. Vett. Scrr. Judic. II, 6, p. 420 R.: Σιμωνίδου παρατήρει τὴν ἐκλογὴν τῶν ὀνομάτων, τῆς συνθέσεως τὴν ἀκρίβειαν· πρὸς τούτοις, καθ' ὃ βελτίων εὑρίσκεται καὶ Πινδάρου, τὸ οἰκτίζεσθαι μὴ μεγαλοπρεπῶς, ἀλλ' ὡς ἐκεῖνος, παθητικῶς: Schneidew. ad Simon. frr. p. 62 coll. Prolegg. p. XL sqq.: s. ob. §. 14.

§. 348, δ: v. Boeckh. M. P. 252.

§. 349, e: Euclid. Intr. Harm. p. 21: κατὰ δὲ μελοποιΐαν γίνεται μεταβολή [s. ob. §§. 327 folgg.], ὅταν ἐκ διασταλτικοῦ ἤθους εἰς συσταλτικὸν ἢ ἡσυχαστικόν, ἢ ἐξ ἡσυχαστικοῦ εἴς τι τῶν λοιπῶν ἡ μεταβολὴ γένηται.

§. 350, H: Drieberg die musik. Wissensch. d. Griech. p. 93 flgg.

§. 351, A, a: s. ob. §§. 264. 265. — b: Aristox. El. Harm. I. p. 3: πρῶτον μὲν οὖν ἁπάντων τὴν τῆς φωνῆς κίνησιν διοριστέον τῷ μέλλοντι πραγματεύεσθαι περὶ μέλους, αὐτὴν τὴν κατὰ τόπον. οὐ γὰρ εἷς τρόπος αὐτῆς ὢν τυγχάνει· κινεῖται μὲν γὰρ καὶ διαλεγομένων ἡμῶν καὶ μελῳδούντων τὴν εἰρημένην κίνησιν· ὀξὺ γὰρ καὶ βαρὺ δῆλον ὡς ἐν ἀμφοτέροις τούτοις ἐστίν· αὕτη δ' ἐστιν ἡ κατὰ τόπον, καθ' ἣν ὀξύ τε καὶ βαρὺ γίνεται. ἀλλ' οὐ ταὐτὸ εἶδος τῆς κινήσεως ἑκατέρας ἐστίν· ... ἀναγκαῖον δ' .. εἰπεῖν περὶ αὐτοῦ [sc. τοῦ φθόγγου] μικρὸν ἀκριβέστερον· .. p. 4: εἶτα περὶ μέλους ὑποδηλωτέον καὶ τυπωτέον, οἵαν ἔχει φύσιν τὸ κατὰ μουσικήν· ἐπειδὴ πλείους εἰσὶ φύσεις μέλους· μία δέ ἐστί τις ἐκ πασῶν αὐτοῦ, ἢ τοῦ ἡρμοσμένου καὶ μελῳδουμένου: id. ib. p. 8: πρῶτον μὲν οὖν ἁπάντων αὐτῆς τῆς κατὰ τόπον κινήσεως τὰς διαφορὰς θεωρῆσαι τίνες εἰσὶ πειρατέον· πάσης δὲ φωνῆς, δυναμένης κινεῖσθαι τὸν εἰρημένον αὐτὸν τρόπον, δύο τινές εἰσιν ἰδέαι κινήσεως, ἥτε συνεχὴς καὶ ἡ διαστηματική· κατὰ μὲν οὖν τὴν συνεχῆ, τόπον τινὰ διεξιέναι φαίνεται ἡ φωνὴ τῇ αἰσθήσει, οὕτως ὡς ἂν μηδαμοῦ ἱσταμένη, μηδ' ἐπ' αὐτῶν τῶν περάτων, κατά γε τὴν τῆς αἰσθήσεως φαντασίαν, ἀλλὰ φερομένη συνεχῶς μέχρι σιωπῆς. κατὰ δὲ τὴν ἑτέραν, .. ἐναντίως φαίνεται κινεῖσθαι· διαβαίνουσα γὰρ ἵστησιν αὐτὴν ἐπὶ μιᾶς τάσεως· εἶτα πάλιν ἐφ' ἑτέρας,

Digitized by Google

c: Die Ansichten der Alten vom Gesange.
Der Ursprung des Gesangs. — Das Wort *μέλος*.
Die durch den Gesang erhöhte Idealität der Poesie.

§. 352. B. Die verschiedenen Arten des Gesangs.

1. Der Gesang einzelner Personen.

a: Vollständiger Gesang einzelner Personen.

α: Die höhere Lyrik.
Die Art der Benutzung der Monodie bei Pindaros.

καὶ τοῦτο ποιοῦσα συνιχῶς· λίγυ δὲ συνιχῶς κατὰ τὸν χρόνον, ὑπερβαίνουσα μὲν τοὺς περιεχομένους ὑπὸ τῶν τάσεων τόπους· ἰσταμένη δ' ἐπ' αὐτῶν τῶν τάσεων καὶ φθεγγομένη, ταύτας μόνον κατ' αὐτὰς μελῳδεῖν λίγεται καὶ κινεῖσθαι διαστηματικῶν κίνησιν: ibid. p. 9: *τὴν μὲν οὖν συνεχῆ, λογικὴν εἶναί φαμεν· φαίλεγομένων γὰρ ἡμῶν οὕτως ἡ φωνὴ κινεῖται κατὰ τόπον, ὥστε μηδαμοῦ δοκεῖν ἵστασθαι· κατὰ δὲ τὴν ἑτέραν, ἣν ὀνομάζομεν διαστηματικήν, ἐναντίως πέφυκε γενέσθαι· ἀλλὰ γὰρ ἵστασθαί τε δοκεῖ καὶ πάντες τὸν τοῦτο φαινόμενον ποιεῖν, οὐκέτι λέγειν φαίη, ἀλλ' ᾄδειν· διὸπερ ἐν τῷ διαλέγεσθαι φεύγομεν τὸ ἵστασθαι τὴν φωνήν, ἂν μὴ διὰ πάθος ποτὲ εἰς τοιαύτην κίνησιν ἀναγκασθῶμεν ἐλθεῖν· ἐν δὲ τῷ μελῳδεῖν τοιναντίον ποιοῦμεν· τὸ μὲν γὰρ συνεχὲς φεύγομεν· τὸ δ' ἵστάναι τὴν φωνὴν ὡς μάλιστα διώκομεν· ὅσῳ γὰρ μᾶλλον ἑκάστην τῶν φωνῶν μίαν τε καὶ ἑστηκυῖαν καὶ τὴν αὐτὴν ποιήσομεν, τοσούτῳ φαίνεται τῇ αἰσθήσει τὸ μέλος ἀκριβέστερον*: cf. Euclid. Intr. Harm. p. 2. Aristid. Quint. Mus. I, p. 9. — c: Anonym. ap. Boisson. Anecdd. T. IV, p. 458: *μέλη δὲ .. ἤτοι διὰ τὸ ἀπὸ τελείων ἁφαιρεῖσθαι μέτρων ... ἢ ἀπὸ Μίλας τοῦ Ἡκεανοῦ θυγατρός, καθά Δυσανίας* [Etym. M. p. 779, 10. nott. critt. ad Diogen. Provv. III, 67: v. infr.] *φησίν, ἢ παρόσον μέλιτι παραπλησίαν ἴχει τὴν ᾠδυήν*: Aphthon. in Gaisf. Script. Latt. Rei metr. p. 240: *Μίλος autem quod ex his* [tonis] *nascitur, dictum putant a Meline* [*Μελία s. Μελίσσα ἡ Ὠκεανοῦ*: Apollod. II, 1, 2, ubi v. Heyn. nott. critt.] *Oceani filia, quam primam quatuor chordis usam adfirmat Lysanias, sive ut Licymnius* [Aristot. Rhet. III, 13 fin. Walz. Rhett. Grr. T. VII, 2, p. 1224.] *ἀπὸ τοῦ μελιζίων, τουτέστι θρηνεῖν. Quibusdam placet ab apibus, quae Graece μέλισσαι dicuntur: nam sicut illae omni cura flores legunt, ut mella conficiant, καὶ ὅτι μέλει αὐταῖς hoc studium, μέλισσαι dictae, in scriptura quoque quicquid floris est in sono vocis et rhythmis ad componenda μέλη colligimus ut auribus tradamus.* — Aristot. Probll. XIX, 10: *διὰ τί, εἰ ᾄδων ἢ ἀνθρώπου φωνῇ, ἢ ἄνευ λόγου ᾄδοντος οὐχ ἡδίων ἐστίν, οἷον τερετιζόντων, ἀλλ' αὐλὸς ἢ λύρα; ἢ οὐθ' ἕτ, ὧν μὴ μιμῆται, ὁμοίως ᾄδύ; οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ ἴργον αὐτό· ἡ μὲν γὰρ φωνὴ ᾄδίων ἡ τοῦ ἀνθρώπου, κρουστικὰ δὲ μᾶλλον τὰ ὄργανα τοῦ στόματος· διὸ ᾄδων ἀκούειν* [*ᾄδειν*?] *ἢ τερετίζειν*: v. Bojesen l. c. p. 76: Cic. Orat. 18, 57: *mira est enim quaedam natura vocis, cujus quidem e tribus omnino sonis, inflexo, acuto, gravi* [v. Goeller. ad h. l.], *tanta sit et tam suavis varietas perfecta in cantibus. Est autem etiam in dicendo quidam cantus obscurior, non hic e Phrygia et Caria rhetorum epilogus, paene canticum, sed ille, quem significat Demosthenes et Aeschines, cum alter alteri objicit vocis flexiones*: v. Goeller. ad h. l.

§. 352, B, 1, α: Pind. Pyth. II, 1, coll. Boeckh. M. P. 266: Thiersch Pind. Uebersetz. I, p. 142. Ulrici Gesch. d. Hellen. Dichtk. II, p. 536.

Digitized by Google

β: Das Drama. — Die Tragödie.
Die Schauspieler. — Der Chor.
γ: Parodie und Ironie im Gesange. — Oinopas und Andre. — Die Komödie.
b: Die Mittelstufen zwischen der Monodie und der gewöhnlichen Rede.
α: Der Vortrag des Epos. — Stesandros.
β: Das Drama.
Die Dochmien. — Die Iamben.
Dorische Iamben. — Antistrophische Iamben.
2. Der Gesang mehrerer Personen oder der Chorgesang.
a: Das Alter des Chorgesangs bei den Hellenen.
b: Die Volksthümlichkeit des Chorgesangs bei den Hellenen. Die Volkspoesie.
c: Der Chor in den Schöpfungen der vollendeten Poesie.
α: Die höhere Lyrik. — Die Geltung des Chors in der höhern Lyrik. — Die Vorzüge des Chorgesangs.
Stesichoros. — Arion.
β: Das Drama.
Thespis. — Aischylos. — Sophokles.

β: s. ob. §§. 200. 212. 214. 226. — γ: Athen. XIV, 638 B: *Ἀριστόξενος δέ φησιν, ὥσπερ τῶν ἑξαμέτρων τινὲς ἐπὶ τὸ γελοῖον παρῳδὰς εὗρον, οὕτω καὶ τῆς κιθαρῳδίας πρῶτος Οἰνώπας· ὃν ἐζήλωσαν Πολύευκτός τε ὁ Ἀχαιὸς καὶ Διοκλῆς ὁ Κυναιθεύς.* — Soph. Aiac. 693. — Aesch. Eum. 711 sqq. Soph. Oed. Col. 1447 sqq. El. 1398 sqq. — b, α: s. ob. §. 6, B. Leutsch Grundr. d. Griech. LG. §. 53, e. — Athen. XIV, 638 A: *Τιμόμαχος δ' ἐν τοῖς Κυπριακοῖς Στήσανδρον λέγει τὸν Σάμιον ἐπὶ πλεῖον αὐξῆσαι τὴν τέχνην καὶ πρῶτον ἐν Δελφοῖς κιθαρῳδῆσαι τὰς καθ' Ὅμηρον μάχας, ἀρξάμενον ἀπὸ τῆς Ὀδυσσείας*: s. ob. §. 13. unt. c, β. — β: Lucian. de Saltat. §. 27: *εἶτ' ἔνδοθεν αὐτὸς* [sc. *ὁ ἄνθρωπος*] *κεκραγὼς, ἑαυτὸν ἀνακλῶν καὶ κατακλῶν, ἐνίοτε καὶ περιᾴδων τὰ ἰαμβεῖα καὶ, τὸ δὴ αἴσχιστον, μελῳδῶν τὰς συμφορὰς καὶ μόνης τῆς φωνῆς* [s. unt. §. 354, g, β.] *ὑπεύθυνον παρέχων ἑαυτόν*: id. quom. hist. conscr. op. §. 1: *ἅπαντες γὰρ ἐς τραγῳδίαν παρεκινοῦντο καὶ ἰαμβεῖα ἐφθέγγοντο καὶ μέγα ἐβόων, μάλιστα δὲ τὴν Εὐριπίδου Ἀνδρομέδαν ἐμονῴδουν καὶ τὴν τοῦ Περσέως ῥῆσιν ἐν μέρει* [v. lect. *μέλει*] *διεξῄεσαν· καὶ μέστη ἦν ἡ πόλις ὠχρῶν ἁπάντων καὶ λεπτῶν τῶν ἑβδομαίων ἐκείνων τραγῳδῶν, Σὺ δ' ὦ θεῶν τύραννε κἀνθρώπων, Ἔρως, καὶ τἆλλα μεγάλῃ τῇ φωνῇ ἀναβοώντων, καὶ τοῦτο ἐπιπολὺ, ἄχρι δὴ χειμὼν κτλ.*: v. C. F. Hermann. ad h. l.: s. ob. §. 8. Boeckh. M. P. 203. — S. ob. §. 143, 𝔅, a. — S. ob. §. 86: ob. p. 70, 5: ob. §. 207, ν, p. 241: Soph. Elect. 1232 sqq., 1404 sqq. — 2, a: s. ob. §. 6, B. — c: s. ob. §. 11. 12. 204. — Aristot. Probll. XIX, 22: *διὰ τί οἱ πολλοὶ μᾶλλον ᾄδοντες τὸν ῥυθμὸν σώζουσιν ἢ οἱ ὀλίγοι; ἢ ὅτι μᾶλλον πρὸς ἕνα τε καὶ ἡγεμόνα βλέπουσι καὶ βαρύτερον ἄρχονται, ὥστε ῥᾷον τοῦ αὐτοῦ τυγχάνουσι; ἐν γὰρ τῷ τάχει ἡ ἁμαρτία πλείων.* — β: s. ob. §§. 206 flgg.: Sext. Empir. adv. Music.

Digitized by Google

γ: Die Zahl der Choreuten in der vollendeten Poesie. Betrachtungen über die nach den Dichtungsarten und der Zeit verschiedene Anzahl der Choreuten in den Schöpfungen der vollendeten Poesie.

§. 353. C. Die Symphonie.

1. Der Begriff der Symphonie bei den Alten im Allgemeinen.

a: Das Wort *συμφωνία*.

b: Das Verhältniſs der Symphonie der Alten zu der Harmonie der Neuern.

c: Die Erfindung der Symphonie bei den Alten.

§. 354. 2. Die einzelnen Arten der Symphonie.

a: Allgemeine Vorerinnerungen.

Der Wortgebrauch. — *Ὁμόφωνος, ὁμότονος, ἰσότονος.* — *Σύμφωνος, ἀντίφωνος.* — *Ἁρμόζειν.*

Die Vorzüge der Symphonie. — Die Mischung der Töne.

VI, §. 16, p. 359 Fabr.: *ἀμέλει γέ τοι καὶ οἱ ποιηταὶ μελοποιοὶ λέγονται, καὶ τὰ Ὁμήρου ἔπη τὸ πάλαι πρὸς λύραν ᾄδετο· ὡσαύτως δὲ καὶ τὰ παρὰ τοῖς τραγικοῖς μέλη τὰ στάσιμα* [s. ob. §. 207.], *φυσικόν τινα ἐπέχοντα λόγον, ὁποῖά ἐστι τὰ οὕτω λεγόμενα, Γαῖα μεγίστη καὶ Διὸς αἰθήρ* [fragm. VI Eurip. Chrysipp.] *κτλ.* — γ: s. ob. §§. 207. 223. 253.

§. 353, C, 1, a: Plat. Cratyl. 405 C: Hesych. s. *συμφωνία· ὁμοφωνία*: Bacch. Sen. Introd. Art. mus. p. 2: *συμφωνία δὲ τί ἐστι; Κρᾶσις δύο φθόγγων ἀνομοίων ὀξύτητι καὶ βαρύτητι λαμβανομένων, ἐν ᾗ οὐδέν τι μᾶλλον τὸ μέλος φαίνεται τοῦ βαρυτέρου φθόγγου, ἢπερ τοῦ ὀξυτέρου· οὐδὲ τοῦ ὀξυτέρου ἢπερ τοῦ βαρυτέρου*: Censor. de die nat. c. 10, 5: *symphonia est duarum vocum disparium inter se iunctarum dulcis concentus*: v. Lindenbrog. ad h. l. p. 66. Kopp. ad Mart. Capell. IX, §. 933. Boeckh. M. P. 252: s. ob. §. 265, c. — c: Gaudent. Harmon. Introd. p. 13: *τὴν δὲ ἀρχὴν τῆς τούτων* [sc. *τῶν τῆς συμφωνίας λόγων*] *εὑρέσεως Πυθαγόραν ἱστοροῦσι λαβεῖν ἀπὸ τύχης παριόντα χαλκεῖον, τοὺς ἐπὶ τὸν ἄκμονα κτύπους τῶν ῥαιστήρων αἰσθόμενον διαφώνους τε καὶ συμφώνους· εἰσελθὼν γὰρ εὐθὺς τὴν αἰτίαν τῆς τε διαφορᾶς τῶν κτύπων καὶ τῆς συμφωνίας ἠρεύνα καὶ ταύτην εὑρίσκει, σταθμῶν διαφόρων ἰδὼν τὰς σφύρας· τοὺς δὲ ἐν τοῖς σταθμοῖς λόγους τῶν μεγεθῶν, αἰτίους τῆς τε διαφορᾶς καὶ συμφωνίας τῶν φόφων. τὰς μὲν γὰρ ἐπίτριτον ἐν τοῖς σταθμοῖς ἐχούσας λόγον, τοῖς ψόφοις διὰ τεσσάρων εὑρίσκει συμφωνούσας· κτλ.*: cf. Nicomach. Harm. Man. I, p. 10 sqq. Meibom. ad Gaudent. l. c. p. 37. Lindenbr. ad Censor. D. Nat. c. 10, p. 67: s. ob. §. 20.

§. 354, 2, a: Man. Bryenn. Harm. p. 381: *ἡ δὲ κατὰ σύμφωνον καὶ διάφωνον* [*διαφορά*], *καθ' ἣν ἃ μέν ἐστι τῶν διαστημάτων* [s. ob. §. 265, B, c.] *σύμφωνα, ἃ δὲ διάφωνα· σύμφωνα δέ, τά τε ἀντίφωνα καλούμενα, οἷον τὸ διὰ πασῶν* [s. ob. §. 267.] *καὶ τὸ δὶς διὰ πασῶν, καὶ τὰ παράφωνα· οἷον τὸ διὰ πέντε καὶ τὸ διὰ πασῶν καὶ διὰ πέντε· καὶ τὰ μόνως* [*μόνῳ* Wall.] *τῷ γενικῷ ὀνόματι σύμφωνα προσαγορευόμενα· οἷον τὸ διὰ τεσσάρων καὶ τὸ διὰ πασῶν καὶ διὰ τεσσάρων· τά τε γὰρ ἀντίφωνα, σύμφωνά ἐστιν, ἐπειδὴν τὸ ἀντικείμενον τῇ ὀξύτητι βάρος συμφωνῇ· ὁμοίως καὶ τὰ παράφωνα, ἐπειδὴν μήτε ὁμότονον φθέγγηται φθόγγος φθόγγῳ,*

Digitized by Google

b: Das *Ὁμόφωνον.*
Das Wesen des *Ὁμόφωνον.*
c: Das *Σύμφωνον* oder *Ἀντίφωνον.*
Das Wesen des *Ἀντίφωνον.* — Einzelne *ἀντίφωνα.* — Die Vorzüge des *Ἀντίφωνον* vor dem *Ὁμότονον.* — Die Anwendung des *Ἀντίφωνον* bei dem Vortrage der Gedichte.
Die Mannichfaltigkeit der Mittel, das *Ἀντίφωνον* zu bewirken.
Μέλη ἀντίσπαστα und *ἀντίφθογγα.*

μήτε διάφωνον, ἀλλὰ παρά τι γνώριμον τῷ λόγῳ διάστημα: v. Meibom. ad Gaud. p. 34 sq. — Plat. Phileb. p. 17 C. — Porphyr. I, 7, p. 15. — Bindesböll de usu et significatione voc. *ἁρμόζειν* dissert. 8. Hafn. 1829. Bojesen. l. c. p. 88. — Aristot. Problemm. XIX, 39: *συμφωνία δὲ πᾶσα ἡδίων ἁπλοῦ φθόγγου (δι' ἃ δὲ, εἴρηται), καὶ τούτων ἡ διὰ πασῶν ἡδίστη.* — Aristid. de Mus. I, p. 29: *μίξις δὲ, δι' ἧς ἤτοι τοὺς φθόγγους ἀλλήλοις, ἢ τοὺς τόπους τῆς φωνῆς ἁρμόζομεν.* — b: Gaudent. Harm. Introd. 11: *τῶν δὲ ἐμμελῶν* [s. ob. §. 265, B, a.] *φθόγγων οἱ μέν εἰσιν ὁμόφωνοι, οἱ δὲ σύμφωνοι, οἱ δὲ παράφωνοι. ὁμόφωνοι μέν εἰσιν, οἱ μήτε βαρύτητι μήτε ὀξύτητι διαφέροντες ἀλλήλων:* s. ob. a. — Gaudent. Int. Harm. 11: *σύμφωνοι δὲ, ὧν ἅμα κρουομένων ἢ αὐλουμένων ἀεὶ τὸ μέλος τοῦ βαρυτέρου πρὸς τὸ ὀξὺ καὶ τοῦ ὀξυτέρου πρὸς τὸ βαρὺ τὸ αὐτὸ ᾖ· ὅταν οἱονεὶ κρᾶσις ἐν τῇ προφορᾷ δυοῖν φθόγγοιν καὶ ὥσπερ ἑνότης παρεμφαίνηται· τότε γάρ συμφώνους εἶναί φαμεν αὐτούς:* Hesych. s. *ἀντίφωνα· ἐναντιόφωνα:* Bojesen l. c. p. 80. — Aristot. Probll. XIX, 13: *διὰ τί ἐν τῇ διὰ πασῶν τοῦ μὲν ὀξέος ἀντίφωνον γίνεται τὸ βαρὺ, τούτου δὲ τὸ ὀξὺ οὔ; ἢ ὅτι μάλιστα μὲν ἐν ἀμφοῖν ἐστὶ τὸ ἀμφοῖν μέλος, εἰ δὲ μὴ, ἐν τῷ βαρεῖ· μεῖζον γάρ.* — Aristot. Probll. XIX, 16: *διὰ τί ἥδιον τὸ ἀντίφωνον τοῦ συμφώνου; ἢ ὅτι μᾶλλον διάδηλον γίνεται τὸ συμφωνεῖν ἢ ὅταν πρὸς τὴν συμφωνίαν ᾄδῃ; ἀνάγκη γὰρ τὴν ἑτέραν ὁμοφωνεῖν, ὥστε δύο πρὸς μίαν φωνὴν γινόμεναι ἀφανίζουσι τὴν ἑτέραν.* — Aristot. Probll. XIX, 39: *διὰ τί ἥδιόν ἐστι τὸ σύμφωνον τοῦ ὁμοφώνου; ἢ καὶ τὸ μὲν ἀντίφωνον σύμφωνόν ἐστι διὰ πασῶν; ἐκ παίδων γὰρ νέων καὶ ἀνδρῶν* [s. ob. §. 223, 2.] *γίνεται τὸ ἀντίφωνον, οἳ διεστᾶσι τοῖς τόνοις ὡς νήτη πρὸς ὑπάτην. συμφωνία* [s. ob. §. a.] ... *ἡδίστη· τὸ ὁμόφωνον δὲ ἁπλοῦν ἔχει φθόγγον· μαγαδίζουσι δὲ ἐν τῇ διὰ πασῶν συμφωνίᾳ, ὅτι καθάπερ ἐν τοῖς μέτροις οἱ πόδες ἔχουσι πρὸς αὐτοὺς λόγον ἴσον πρὸς ἴσον ἢ δύο πρὸς ἓν ἢ καί τινα ἄλλον* [s. ob. §. 51.], *οὕτω καὶ οἱ ἐν τῇ συμφωνίᾳ φθόγγοι λόγον ἔχουσι κινήσεως πρὸς αὐτούς.* — Aristot. l. c. XIX, 21: *διὰ τί τῶν ᾀδόντων οἱ βαρύτερον ᾄδοντες τῶν ὀξὺ ᾀδόντων, ἐὰν ἀπᾴδωσι, μᾶλλον κατάδηλοι* [s. ob. §. 223, 2, c.] *γίνονται; ὁμοίως δὲ καὶ τῷ ῥυθμῷ οἱ ἐν τῷ βαρυτέρῳ πλημμελοῦντες κατάδηλοι μᾶλλον· πότερον ὅτι πλείων ὁ χρόνος ὁ τοῦ βαρέος, οὗτος δὲ μᾶλλον αἰσθητός; ἢ ὅτι ἐν πλείονι χρόνῳ πλείω αἴσθησιν παρέχει, τὸ δὲ ταχὺ καὶ ὀξὺ λανθάνει διὰ τὸ τάχος:* Aristot. de Anima II, c. 8, 8: *ὥσπερ γὰρ ἄνευ φωτὸς οὐχ ὁρᾶται τὰ χρώματα, οὕτως οὐδ' ἄνευ ψόφου τὸ ὀξὺ καὶ τὸ βαρύ. ταῦτα δὲ λέγεται κατὰ μεταφορὰν ἀπὸ τῶν ἁπτῶν· τὸ μὲν γὰρ ὀξὺ κινεῖ τὴν αἴσθησιν ἐν ὀλίγῳ χρόνῳ ἐπὶ πολύ, τὸ δὲ βαρὺ ἐν πολλῷ ἐπ' ὀλίγον. οὐ δὴ ταχὺ τὸ ὀξύ, τὸ δὲ βαρὺ βραδύ, ἀλλὰ γίνεται τοῦ μὲν διὰ τὸ τάχος ἡ κίνησις τοιαύτη, τοῦ δὲ διὰ βραδύτητα:* O. Mueller Handb. d. Archaeol. p. 8. Trendelenb. ad Aristot. de Anima II, 8, p. 388. Bojesen l. c. p. 89 sq. — S. ob. §. 283, β. 289, c, a: s. unt. §. . —

Digitized by Google

d: Das *Διάφωνον*.
Das Wesen des *Διάφωνον*.
e: Das *Παράφωνον*.
Das Wesen des *Παράφωνον*. — Unterschied des *Παράφωνον* von den übrigen Consonanzen hinsichtlich seiner Anwendung in der Poesie.
Die Erweiterung der Hellenischen Harmonie durch die *Παράφωνα*.
f: Die Art der Symphonie erläutert an des Pindaros erster Olympischer Ode.
Das *γένος διάτονον* in Dorischer Tonart.

Ὑπάτη.	*παρυπάτη.*	*λιχανός.*	*μέση.*	*παραμέση.*	*τρίτη.*
a	b	c	d	e	f

παρανήτη.	*νήτη.*
g	a

Das *γένος διάτονον* in Aiolischer Tonart.

Ὑπάτη.	*παρυπάτη.*	*λιχανός.*	*μέση.*	*παραμέση.*	*τρίτη.*
c	♭	♭is	f	g	gis

παρανήτη.	*νήτη.*
b	c

g: Schlufsbemerkungen.
α: Der Einfluſs der Symphonie auf die Behandlung der Metra und der Tonarten. — Die Lydischen Oden bei Pindaros.
β: Die Einwirkung der Symphonie auf die einzelnen Theile der Harmonik.

---

d: Gaudent. Harm. Intr. 11: *διάφωνοι δέ, ὧν ἅμα κρουομένων ἢ αὐλουμένων, οὐδέν τι φαίνεται τοῦ μέλους εἶναι τοῦ βαρυτέρου πρὸς τὸ ὀξὺ ἢ τοῦ ὀξυτέρου πρὸς τὸ βαρὺ τὸ αὐτό· ἢ ὅταν μηδεμίαν κρᾶσιν πρὸς ἀλλήλους ἐμφαίνουσιν ἅμα προφερόμενοι.* — e: Gaudent. l. c.: *παράφωνοι μὲν οἱ μέσοι μὲν συμφώνου καὶ διαφώνου, ἐν δὲ τῇ κρούσει φαινόμενοι σύμφωνοι, ὥσπερ ἐπὶ τριῶν τόνων φαίνεται, ἀπὸ παρυπάτης μέσων ἐπὶ παραμέσην. καὶ ἐπὶ δύο τόνων, ἀπὸ μέσων διατόνου ἐπὶ παραμέσην:* v. Boeckh. M. P. 254. — Aristot. Probll. XIX, 18: *διὰ τί ἡ διὰ πασῶν συμφωνία ᾄδεται μόνη; μαγαδίζουσι* [s. unt. §. 357, c.] *γὰρ ταύτην, ἄλλην δὲ οὐδεμίαν· ἢ ὅτι μόνη ἐξ ἀντιφώνων ἐστὶ χορδῶν, ἐν δὲ τοῖς ἀντιφώνοις καὶ τὴν ἑτέραν ἐὰν ᾄδῃ, τὸ αὐτὸ ποιεῖ; ἡ γὰρ μία τρόπον τινὰ τὰς ἀμφοτέρων ἔχει φωνάς, ὥστε καὶ μιᾶς ᾀδομένης ἐν ταύτῃ τῇ συμφωνίᾳ ᾄδεται ἡ συμφωνία, καὶ ἅμφω ᾄδοντες· ἢ τῆς μὲν ᾀδομένης τῆς δὲ αὐλουμένης ὥσπερ μίαν ἅμφω ᾄδουσιν· διὸ μόνη μελῳδεῖται, ὅτι μιᾶς ἔχει χορδῆς φωνὴν τὰ ἀφτίφωνα.* — f: Boeckh. M. P. 256: G. Herm. Opuscc. VI, 1, 50. — g, α: Boeckh. M. P. 278. — β: Cic. Orat. III, 25, 98: *quanto molliores sunt et delicatiores in cantu flexiones et falsae voculae quam certae et severae? quibus tamen non modo austeri, sed, si saepius fiunt, mul-*

Digitized by Google

Die Künstlichkeit der Hellenischen Musik.
Das Uebertreiben der Kunst in dem Gesange. — Die Dithyrambiker. — Triller und dergleichen.
γ: Das Zusammenwirken der einzelnen Theile der Musik zu einem Ganzen.

III. Der Dialekt in den Lyrischen Gedichten der Hellenen.

§. 355. A. Allgemeine Vorerinnerungen.
a: Nähere Bestimmung des Standpunktes für die Behandlung des Dialekts an dieser Stelle.
Der Einfluſs der Musikalischen Composition auf die Wahl des Dialekts.
Der Charakter der Vocale. — Die Tonarten.
b: Blick auf die Dialekte des Hellenischen Volkes.
c: Die Behandlung der Dialekte durch die Alexandriner und die spätern Grammatiker.
Tryphon. — Gregorios.

§. 356. B. Der Dialekt in den verschiedenen Gattungen der Poesie.
1. Der Dialekt im Epos und in der alten Elegie.
Wichtigkeit der Behandlung des Dialekts in Epos und Elegie hinsichtlich der später entstandenen Gattungen der Poesie.
2. Der Dialekt in der Aiolischen Lyrik.
Die Subjectivität der Aiolischen Lyrik und Einfluſs derselben auf den Dialekt.
Der aus der musikalischen Behandlung und Ausbildung des Aiolischen Dialekts sich ergebende Fortschritt in Rücksicht auf die Poesie.

---

titudo ipsa reclamat: Pherecr. *Χείρων.* fr. I Mein., vs. 13: *Κινησίας* [s. ob. §§. 18. 257 flgg.] *δί μ' ὁ κατάρατος Ἀττικὸς Ἑλληνισὶους καμπὰς ποιῶν ἐν ταῖς στροφαῖς Ἀπολλίλεγ' οὕτως, ὥστε τῆς ποιήσεως Τῶν διθυράμβων, καθάπερ ἐν τοῖς ἀσκίοις, Ἀριαῖρ' αὐτοῦ φαίνεται τὰ δέξια*: v. Hanov. Exercitt. Critt. in Comicc. Grr. I, p. 48 sq. Meinek. Comm. Grr. Frr. II, p. 328. — γ: s. ob. §§. 1 flgg.

§. 355, A, a: s. ob. §. 61. — b: Leutsch Grundriſs f. Griech. LG. §. 7 folgg. — Giese üb. den Aeolischen Dial. p. 23. Ahrens. de Gr. ling. Dial. I, p. 5. — Suid. s. *Τρύφων, ... περὶ πλεοναμοῦ τῶν ἐν τῇ Αἰολίδι διαλέκτων, βιβλία ζ'. Περὶ τῶν παρ' Ὁμήρῳ διαλέκτων καὶ Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ Ἀλκμᾶνι καὶ τοῖς ἄλλοις λυρικοῖς. Περὶ τῆς Ἑλλήνων διαλέκτου, καὶ Ἀργείων καὶ Ἰωνικῶν καὶ Ῥηγίνων καὶ Δωρίων καὶ Συρακουσίων*: v. Kuster. ad h. l., sup. §. 33. — Petzholdt ad Aphthon. Progymn. praef. p. XVII sqq. —

§. 356, B, 1: s. ob. §§. 203 flgg. — 2: s. ob. §§. 11. 204. 295. — Ahrens de

Digitized by Google

3. Der Dialekt und seine künstliche Behandlung in der Dorischen Lyrik.
   a: Die Wichtigkeit des Pindaros.
   b: Die Ansichten der alten Grammatiker vom Dialekte des Pindaros.
   c: Die Ansichten der Neuern.
   d: Die Bestandtheile des Dialektes in des Pindaros Gedichten im Allgemeinen.
      α: Der Epische Bestandtheil.
         Die Abweichungen vom Epischen Dialekte.
      β: Der den bestehenden Dialekten entnommene Bestandtheil.
         Das Dorische. — Das Aiolische. — Seltne Formen.
   e: Die Modificationen des Pindarischen Dialekts im Einzelnen.
      α: Die die Wahl des Dialekts bedingenden Umstände.
      β: Der Einfluſs der musikalischen Composition.
         Die Tonarten. — Die Dorischen, Aiolischen, Lydischen Oden.

---

graecae ling. dialectis T. I, p. 7 sqq. — 3, b: Greg. Cor. de Dial. p. 12 Schaef.: κοινὴ [sc. διάλεκτος] δὲ, ᾗ πάντες χρώμεθα καὶ ᾗ ἐχρήσατο Πίνδαρος, ἦγουν ἡ ἐκ τῶν δ' συνισταῦσα: v. ibid. p. 627. 643: id. p. 371 Schaef.: καὶ ταῦτα μὲν περὶ τῆς Δωρίδος. Διαφέρει δὲ ἡ τῶν Κρητῶν διάλεκτος, ἥπερ Κυψέλας ἐχρήσατο, καὶ ἡ τῶν Λακώνων, ἥπερ Ἀλκμὰν καὶ Σώφρων ἱστοίχησαν. ἡ μέντοι Πινδάρου καὶ Σιμωνίδου καὶ Βακχυλίδου παντελῶς ἀνεῖται, διὰ τὸ μὴ Δωριεῖς εἶναι φύσει τοὺς ποιητὰς, ἔχει δὲ μόνην αὐτοὺς τὴν διάλεξιν: s. unt. d, β. f, a. — c: G. Herm. de Dialecto Pind. Observv. in Opuscc. T. I, p. 245. Boeckh. M. P. 288: vrgl. Giese der Aeol. Dial. p. 60 flgg. — d, β: Eustath. ad Hom. Odyss. Λ, 592, p. 1702, 5: ὡς δὲ οἱ Δωριεῖς ἥκιστα καὶ αἰολίζοντες, δηλοῖ Πίνδαρος, ἀναμὶξ οὕτω ποιῶν, ἤτοι Δωρικῶς γράφων καὶ Αἰολικῶς: Suid. s. Πίνδαρος: .. ἔγραψε δὲ βιβλίοις ιζ', Δωρίδι διαλέκτῳ, ταῦτα. — Aristid. Quint. de Music. II, p. 92: τῶν δὲ διχρόνων εἰς μελῳδίαν κράτιστον τὸ ᾱ· εὔφυὲς γὰρ διὰ πλάτος τῆς ἠχήσεως [s. ob. §. 354, c.] εἰς μακρότητα, τὰ δὲ λοιπὰ διὰ λεπτότητα οὐχ οὕτως ἔχει. ἔστι δέ τινα καὶ τούτοις ἰδεῖν μεσότητα· τὸ μὲν γὰρ ᾱ κοινωνίαν τε ἔχον καὶ ἀντιπάθειαν πρὸς τὸ ῑ, εἰ μὲν εἰς ἀντίστροφον χρείαν ἐκείνου παραλαμβάνεται, πέφυκεν ἄῤῥεν· εἰ δὲ τὴν ὁμοίαν ποιεῖται σημασίαν, τιθήλυνται. δηλοῦσι δὲ τοῦτο καὶ αἱ τῶν διαλέκτων ἀλλήλαις ἀντιπεπονθυῖαι, τῇ τῶν ἐθνῶν ἀναλόγως ἐναντιοτροπίᾳ, ἡ Δωρίς τε καὶ Ἰάς· ἡ μὲν γὰρ Δωρὶς τὴν θηλύτητα φεύγουσα τοῦ ῑ, τρέπειν αὐτῆς τὴν χρῆσιν ὡς εἰς ἄῤῥεν, τὸ ᾱ, νενόμικεν· ἡ δὲ Ἰάς, τὸ στειρεὸν ὑποστελλομένη τοῦ ᾱ, καταφέρεται πρὸς τὸ ῑ. τὸ δὲ [ᾱ add. Meib. p. 298.] θῆλυ μέν ἐστι κατὰ τὸ πλεῖστον, ὡς προείρηται· τὸ δὲ [ῑ addit Meib. l. c.] τὸν ὅμοιον ἦχον ἐπιφέρειν, εἰ ἐκτεθείη τῇ αῖ διφθόγγῳ, γραφομένῃ διὰ τοῦ ᾱ, ἐπ' ἐλάχιστον ἠῤῥέπωται. — e, β: Boeckh. M. P. 292. —

Digitized by Google

f: Die Anwendung und Bestätigung der aus Pindaros Behandlung des Dialekts entnommenen Grundsätze auf und durch die übrigen Dorischen Lyriker.

α: Vergleichung zwischen Simonides und Pindaros. — Bakchylides.

Die Formen. — Der Hiatus. — Die Productionen und Correptionen. — Die Synizesis. — Die Elision. — Die Krasis.

β: Stesichoros. — Ibykos. — Korinna.

4. Der Dialekt im Drama.

a: Der Dialekt im Dialoge des Drama.

b: Der Dialekt in den Lyrischen Partien der Tragödie.

α: Der Dorismus.

α: Die anapaistischen Parthien der Tragödie.

b: Die Chorgesänge.

c: Die *Κόμμοι*.

β: Die von den Tragikern in Anwendung des Dorismos befolgten Gesetze.

a: Nähere Bestimmung des Umfangs des Dorismos in der Attischen Tragödie.

Der Dorismos in den Wurzeln der Worte. — Das Dorische in der Flexion der Nomina und Verba.

b: Der Einfluſs des Musikalischen auf die Wahl des Dialekts. — Die Tonarten.

c: Der Unterschied in Behandlung des Dialekts zwischen Aischylos, Sophokles und Euripides.

c: Der Dialekt in den Lyrischen Partien der Komödie.

Der Unterschied zwischen Tragödie und Komödie.

---

f: Grammat. Leidens. ad calc. Gregor. Corinth. p. 635 Schaef.: *κέχρηται δὲ αὐτῇ [sc. τῇ ἀοιδῇ] Ἀλκμάν, Στησίχορος, Ἴβυκος, Βακχυλίδης, Ἐπίχαρμος· ἡ δὲ χρῆσις αὐτῆς κατὰ διαφορὰν διαιρεῖται.* — α: Cf. Schneidew. ad Simon. Reliqq. Prolegg. p. XLII sqq. — Neue ad Bacchyl. frr. p. 8. — S. ob. §. 74. — S. ob. §. 108. — β: Suid. s. *Στησίχορος· .. γέγονε δὲ λυρικὸς· καὶ ἔστιν αὐτοῦ τὰ ποιήματα Δωρίδι διαλέκτῳ ἐν βιβλίοις ιστ'*: s. ob. §§. 12. 204; Klein. ad Stesich. frr. p. 46. — Suid. s. *Ἴβυκος· .. ἔστι δὲ αὐτοῦ τὰ βιβλία ζ' τῇ Δωρίδι διαλέκτῳ*: Schneidew. ad Ibyci Reliqq. p. 61 sqq. — Schneidew. Delect. Poett. Lyricc. p. 431. — 4, a: s. ob. §§. 87, 2. 89, 1. — b, α, α: s. ob. §. 118, C, e, p. 127. — β: Ellendt. Lex. Sophocl. T. II, praef. p. XIII. —

Digitized by Google

IV. Die Begleitung der Gedichte durch die Instrumente.

§. 357. A: Die Stellung der Organik zu den andern bei der Darstellung poetischer Kunstwerke thätigen Künsten.

a: Das Vorherrschen der menschlichen Stimme.
Die Poetik die erste der musischen Künste.

b: Die Beschaffenheit und Eintheilung der Instrumente im Allgemeinen.

B: Die Saiteninstrumente.

a: Die Epochen in der Ausbildung der Saiteninstrumente.
Die älteste Zeit. — Homeros. — Die Ausbildung der Lyrik. — Die musikalischen Sekten.

b: Die verschiedenen Arten der Saiteninstrumente bei den alten Hellenen.
Die Kithara. — Die Lyra. — Die Frage nach der Verschiedenheit von Kithara und Lyra.

---

§. 357, A, a: s. ob. §. 351, c: Pind. Ol. II, 1: ἀναξιφόρμιγγες ὕμνοι, wo Schol.: οἱ τῆς φόρμιγγος ἀνάσσοντες· πρῶτον γὰρ τὰ ᾄσματα συντίθενται, εἶθ' οὕτω πρὸς αὐτὰ καὶ ἡ λύρα ἁρμόζεται: s. ob. §. 255, c: v. Boeckh. trag. Gr. princc. p. 89, id. M. P. 258. — S. ob. §§. 1. 2. — b: s. ob. §. 6, B: add. Drieberg Aufschlüsse üb. d. Musik der Griechen. 4. 1819. Krueger. de musicis Graecorum organis diss. 4. Gottlng. 1830. — B, a: s. ob. §§. 267 figg. — S. ob. §. 6, B. — S. ob. §§. 8 figg. — S. ob. §. 24. — b: Poll. Onom. IV, 59: τῶν μὲν οὖν κρουομένων εἴη ἂν λύρα, κιθάρα, βάρβιτον· τὸ δ' αὐτὸ καὶ βαρύμιτον [βάρμιτον Bergk. Anacr. frr. p. 250.], χέλυς, ψαλτήριον, τρίγωνα, σαμβύκαι, πηκτίδες, φόρμιγγες, φοῖνιξ, σπάδιξ, λυροφοινίκιον, κλεψίαμβος, παρίαμβος, ἰαμβύκη, σκινδαψός, ἐπιγόνιον καὶ τὰ λοιπά: s. unt. §. 358, e: id. IV, 62: μέρη δὲ τῶν ὀργάνων, νευραί, χορδαί, λίνα, μίτοι, τόνοι, πῆχεις, ἀγκῶνες, κέρατα, κόλλοπες, πήχεια, πλῆκτρον, χορδότονον. καὶ ὄνακα δέ τινα ὑπολύρων οἱ κωμικοὶ [Arist. Ran. 232.] ὀνοπλίζον, ὡς πάλαι ἀντὶ κεράτων ὑποτιθέμενον ταῖς λύραις. ὅθεν καὶ Σοφοκλῆς εἰρηκεν [fr. 34. Dind.], ὑφῃρέθη σου κάλαμος ὥσπερεὶ λύρας· οἱ δὲ τεχνῖται, λυροῦσοι, κιθαρῳδοί, κιθαρισταί, καὶ κιθαρίστριαι [s. unt. §. 358, d, α.], ψάλται, ψάλτριαι. Καὶ τὰ ᾄσματα, λυρίζειν, καθαρίζειν, ψάλλειν· καὶ ὡς Ἀριστοφάνης [fr. 594 Dind.], βαρβιτίζειν. καὶ κρίνειν δὲ, καὶ κρεγμός, τὸ πρᾶγμα [s. unt. §. 358, f.]. προῳδεῖν, ὑπῳδεῖν, ὑπῃδεῖν, συνῳδεῖν, ἀπῳδεῖν. κρούματα, πρόςχορδα ᾄσματα, πολύχορδον, ἁρμονία, ἀναρμόνιον, παναρμόνιον, πολυαρμόνιον, ἀνάρμοστον, ἀναρμοστία, ἀναρμοστεῖν, διαναρμοστεῖν, ῥυθμός, ἀῤῥύθμως, ἀῤῥυθμεῖν· καὶ γὰρ Πλάτων ἔστιν οὐ ὀνομάζειν δοκεῖ, ὥσπερ καὶ Κριτίας, τὰς πρὸς κιθάραν ᾠδάς, προςῳδίας ἁρίσκει καλεῖν. — S. ob. §. 6, B. — S. ob. §. 266, C, a. b: Burette Mem. de l'Acad. d. Inscript. T. IV, p. 116. Boeckh. M. P. 260. Drieberg Aufschl. üb. d. Musik d. Griechen p. 38: s. unt. c, β, α: §. 358, d, α. —

Digitized by Google

c: Die Lyra nebst ihren Unterarten.

α: Das Wort *Λύρα*. — Die Gestalt der Lyra. — Der Ton der Lyra. — Die Zahl der Saiten. — Der Umfang der Lyra. — Die Verbindung der Lyra mit dem Gesange.

β: Die Unterarten der Lyra.

a: Das Barbiton.

Das Wort und seine Formen.

Die Erfindung der *βάρβιτος*. — Das Alter der *Βάρβιτος*. — Die Barbaren. — Die Lesbier.

Terpandros. — Alkaios. — Sappho. — Anakreon.

Die höhere Lyrik. — Simonides.

---

c, α: Anon. ap. Boisson. Anecdd. T. IV, p. 459: *λύρα τοίνυν προςηγορεύθη διὰ τὸ λύθρον ὑπὸ Ἑρμοῦ δεδόσθαι τῆς κλοπῆς τῶν βοῶν τοῦ Ἀπόλλωνος, καθάπερ φησὶν Εὐριπίδης ἐν Ἀντιόπῃ· „λύρα βοῶν ῥύσα* [*λύρᾳ und ῥύσια* vermuthet Boiss.] *ἐξεῤῥύσατο*: Schol. ad Nic. Alexiph. 557. — Hesych. s. *Λύρα· κιθάρα*: Suid. s. *κιθάρα· ἡ λύρα·* — Lucian. Dial. Mar. I, §. 4: *καὶ αὐτὴ δὲ ἡ πηκτὶς οἵα; κρανίον ἐλάφου γυμνὸν τῶν σαρκῶν· καὶ τὰ μὲν κέρατα πήχεις ὥσπερ ἦσαν· ζυγώσας δὲ αὐτὰ καὶ ἐνάψας τὰ νεῦρα οὐδὲ κόλλοπι περιστρέψας, ἐμελῴδει ἄμουσόν τι καὶ ἀπῳδὸν, ἄλλο μὲν αὐτὸς βοῶν, ἄλλο δὲ ἡ λύρα ὑπήχει.* — Aristid. Quint. de Mus. II, 101: *πάλιν ἐν τοῖς κατατεινομένοις* [*ὀργάνοις*] *τὴν μὲν λύραν ἐστὶν εὑρεῖν πρὸς τὸ ἄῤῥεν ἀναλογοῦσαν διὰ τὴν πολλὴν βαρύτητα καὶ τραχύτητα.* — S. ob. §. 266, C. — β, a: Etym. M. 188, 17: *βάρβιτος, εἶδος μουσικοῦ ὀργάνου, ψαλτήριον ἢ κιθάρα· εἴρηται δὲ οἱονεὶ βαρύμιτός τις ὤν, ὁ βαρεῖαν τὴν φωνὴν καὶ τὸν φθόγγον ἀφιείς· μίτους γὰρ τὰς νευρὰς ἔλεγον· ἐπειδὴ πρὸ τῆς χρήσεως τῆς νευρᾶς λινοῖς στήμοσιν ἐκέχρηντο· ὅθεν καὶ οἱ Αἰολεῖς βάρμιτον αὐτὸ διὰ τοῦ μ φασί*: v. Neue ad Sapph. frr. p. 11; Strab. X, 3, 17, p. 471: *καὶ τῶν ὀργάνων ἔνια βαρβάρως ὠνόμασται· νάβλας καὶ σαμβύκη καὶ βάρβιτος καὶ μάγαδις καὶ ἄλλα πλείω.* — Aristot. Polit. VIII, 6, 7: *ὁμοίως δὲ καὶ πολλὰ τῶν ὀργάνων τῶν ἀρχαίων οἷον πηκτίδες καὶ βάρβιτοι καὶ τὰ πρὸς ἡδονὴν συντείνοντα τοῖς ἀκούουσι τῶν χρωμένων, ἑπτάγωνα καὶ τρίγωνα καὶ σαμβύκαι καὶ πάντα τὰ δεόμενα χειρουργικῆς ἐπιστήμης.* — Athen. XIV, 635 D: s. ob. §. 289, c, α. — Athen. IV, 182 E: *Εὐφορίων δὲ ὁ ἐποποιὸς ἐν τῷ περὶ Ἰσθμίων* [Mein. p. 82.] *„οἱ νῦν (φησὶ) καλούμενοι ναβλισταὶ καὶ πανδουρισταὶ καὶ σαμβυκισταὶ καινῷ μὲν οὐδενὶ χρῶνται ὀργάνῳ· τὸν γὰρ βάρωμον καὶ βάρβιτον, ὧν Σαπφὼ καὶ Ἀνακρέων μνημονεύουσι, καὶ τὴν μάγαδιν καὶ τὰ τρίγωνα καὶ τὰς σαμβύκας ἀρχαῖα εἶναι*: id. XIV, 636 B: *καὶ Φίλλις δ' ὁ Δήλιος* [s. ob. §. 28.] *ἐν δευτέρῳ περὶ μουσικῆς διαφέρειν φησὶ πηκτίδα μαγάδιδος* [s. unt. b, p. 345.], *λέγων οὕτως „Φοίνικες, πηκτίδες, μαγάδιδες, σαμβύκαι, ἰαμβύκαι, τρίγωνα, κλεψίαμβοι, σκινδαψοὶ, ἐννεάχορδα. ἐν οἷς γὰρ (φησὶ) τοὺς ἰάμβους ᾖδον* [s. ob. p. 334, b, β.], *ἰαμβύκας* [s. unt. f.] *ἐκάλουν· ἐν οἷς δὲ παρελογίζοντο τὰ ἐν τοῖς μέτροις, κλεψιάμβους· μαγάδιδας δὲ τὰ διὰ πασῶν καὶ πρὸς ἴσα τὰ μέρη τῶν ᾀδόντων ἡρμοσμένα. καὶ ἄλλα δ' ἦν παρὰ ταῦτα. καὶ γὰρ βάρβιτος ἢ βάρμος· καὶ ἄλλα πλείονα, τὰ μὲν ἔγχορδα, τὰ δὲ ἔνηχα, κατεσκεύαζον.* — Athen. IV, 175 D: *καὶ τὸ τρίγωνον* [s. unt. b.] *δὲ καλούμενον ὄργανον Ἰόβας ἐν τετάρτῳ θεατρικῆς ἱστορίας Σύρων εὕρημά φησιν εἶναι, ὡς καὶ*

Digitized by Google

Das Drama.
Die spätere Zeit. — Die Anakreontischen Gedichte.
Die Lateiner und der Gebrauch des Wortes bei diesen.
Die Form des Barbitos. — Der Umfang und Ton der Barbitos.
Die Verbindung der Barbitos mit dem Gesange.
b: Das Trigonon.
Das Wort, seine Formen und Bedeutung.
Das Vaterland des Trigonos.
Die Form des Trigonon. — Die verschiedenen Arten des Trigonon.

τὸν καλούμενον λυροφοίνικα [συροφ. O. Muell. ad Fest. p. 324.] σαμβύκην [s. unt. f.]· τοῦτο δὲ τὸ ὄργανον Νεάνθης ὁ Κυζικηνὸς [Marquardt Kyzikos p. 167.] ἐν πρώτῳ Ὥρων εὕρημα εἶναι λέγει Ἰβύκου τοῦ Ῥηγίνου ποιητοῦ, ὡς καὶ Ἀνακρέοντος τὸ βάρβιτον: Simonid. Epigr. CLXXI [98] Schneidew., vs. 9: μολπῆς δ' οὐ λήγει [Ἀνακρέων] μελιτερπέος, ἀλλὰ τὸ κλεινὸν Βάρβιτον οὐδὲ θανὼν εὔνασεν εἰν Ἀΐδῃ: Suid. s. βάρβιτον. Bergk. ad Anacr. frr. p. 250 sqq. — Eurip. Alcest. 346. Cycl. 40. — Aristoph. Thesmoph. 137. — Dionys. Halic. Antiqq. Rom. VII, 72, p. 1487 R.: οἷς παρηκολούθουν αὐληταὶ ... καὶ κιθαρισταὶ λύρας ἑπταχόρδους [s. ob. §§. 266 flgg.] ἐλεφαντίνας καὶ τὰ λεγόμενα βάρβιτα κρέκοντες. ὧν παρὰ μὲν Ἕλλησιν ἐκλέλοιπεν ἡ χρῆσις ἐπ' ἐμοῦ, πάτριος οὖσα· παρὰ δὲ Ῥωμαίοις ἐν ἁπάσαις φυλάττεται ταῖς ἀρχαίαις θυηπολίαις. — Horat. Carm. I, 1, 34. 32, 4. Ovid. Metam. XI, 167. — Theocr. Id. XVI, 44: εἰ μὴ δεινὸς ἀοιδὸς ὁ Κήϊος αἰόλα φωνέων Βάρβιτον ἐς πολύχορδον ἐν ἀνδράσι θῆκ' ὀνομαστοὺς Ὁπλοτέροις: Acron ad Hor. Carm. I, 1, 34: *Lyram dictam a sono. Dion etiam libro septimo Citharoedi, inquit, Lyras septichordes eburneas, quae barbita dicuntur, tendentes, quorum usus obsolevit aetate mea.* — Schol. ad Eurip. Alcest. 357: βαρβίτου] εἶδος ὀργάνου μουσικοῦ ὁ βάρβιτος, βαρυτέρας ἔχων τὰς χορδάς. καὶ ἐστὶν οἱονεὶ βαρύμιτός τις ὤν. — b: Phot. Lex. p. 601 angl.: τρίγωνος: ἀῤῥενικῶς· μουσικὸν ὄργανον ψαλτηρίῳ τὴν ἐξάρτησιν ὁμοίαν ἔχον: Etym. Magn. 766, 14: Hesych. s. τρίγωνον· εἶδος ὀργάνου ψαλτηρίου [v. Casaub. ad Athen. IV, 183 C.]· ἢ φυτὸν ἐν Αἰγύπτῳ: Bekk. Anecdd. I, 309, 25: τρίγωνον· ὄργανον μουσικόν. σημαίνει δὲ καὶ δικαστήριον. — S. ob. a: Ptolem. Harm. III, 7, p. 138 Wall.: δοκεῖ δέ μοι καὶ τὸ τοὺς θεοὺς μετὰ μούσης τινὸς ἐπικαλεῖσθαι καὶ μελῳδίας, οἷον ὕμνων τε, καὶ αὐλῶν, ἢ τῶν Αἰγυπτιακῶν τριγώνων, ἐμφαίνειν, ὅτι μετὰ πραότητος εὐμενοῦς ἐπακούειν αὐτοὺς προκαλούμεθα τῶν εὐχῶν. — Etym. Magn. 715, 53: σκαληνόν, σκολιόν, πολύγωνον· τοῦ γὰρ τριγώνου εἴδη τρία, ἰσόπλευρον, ἰσοσκελές, σκαληνόν: Porphyr. ad Ptolem. p. 217: οἵ γε τοι παλαιοὶ τὸ τρίγωνον ἐξ ἀνίσων τοῖς μήκεσι χορδῶν ἐποίησαν· μακροτάτης μὲν τῆς πασῶν ἐξωτάτω, ὑποδεεστέρας δὲ ταύτης τῆς πλησίον· τῶν δ' ἔτι ἐνδοτέρων καὶ πρὸς τῇ γωνίᾳ τοῦ ὀργάνου καθημένων, κολοβωτέρων τοῖς μήκεσιν· ἰσοπαχεῖς δ' ἐποίουν τὰς χορδάς· οὐ γὰρ ᾔδεσάν πω τὰς τῶν παχέων διαφοράς. Διὸ καὶ συνέβαινε τὰς μὲν μικροτέρας χορδὰς πληττομένας ὀξύτερον ἀποτελεῖν τὸν φθόγγον· τὰς δὲ μακροτέρας, βαρύτερον. Ἐπὶ μὲν γὰρ τῶν μακροτέρων χορδῶν, βραδεῖά τε γίνεται ἡ ἀντίστασις· ... ἐπὶ δὲ τῶν βραχυτέρων χορδῶν, ταχεῖα γίνεται ἥ τε πλῆξις καὶ ἡ ἀποκατάστασις: Don. Lyr. Barber. 19. Forkel Gesch. der Musik I, p. 419. —

Digitized by Google

Der Gebrauch des Trigonon in der Poesie.
Die Urtheile der Alten über den Gebrauch des Trigonon.
c: Die Magadis.
Das Wort und seine Formen.
Die verschiedenen Ansichten der Alten über das Vaterland der Magadis. — Die Lyder. — Die Thraker.
Die Streitfragen bei den Alten über die Magadis als Saiten- und als Blasinstrument.
Die Magadis als Saiteninstrument.
Die Hellenische Ausbildung der Magadis. — Terpandros. — Sappho. — Anakreon.
Der Gebrauch der Magadis in der Hellenischen Poesie. — Alkman.

Athen. IV, 183 E: *Ἀλέξανδρος δ' ὁ πολίτης μου, οὗτος δ' οὐ πρὸ πολλοῦ τετελεύτηκε, δημοσίᾳ ἐπιδειξάμενος ἐν τῷ τριγώνῳ ἐπικαλουμένῳ ὀργάνῳ οὗτος ἐποίησε πάντας Ῥωμαίους μουσομανεῖν ὡς τοὺς παλαιοὺς καὶ ἀπομνημονεύειν αὐτοῦ τὰ προοίμιατα, μνημονεύει δὲ τοῦ τριγώνου τούτου καὶ Σοφοκλῆς ἐν μὲν Μυσοῖς* [fr. 361 G. Dind.] *οὗτος· Πολὺς δὲ Φρυξ τρίγωνος ἀντίσπαστά τε Λυδῆς ἐφυμνεῖ πηκτίδος* [s. unt. b.] *συγχορδία· καὶ ἐν Θαμύρᾳ· Ἀριστοφάνης δ' ἐν Δαιταλεῦσι* [fr. 38 G. Dind.] *καὶ Θεόπομπος ἐν Πηγάσῳ· Εὔπολις δ' ἐν Βάπταις φησίν Ὃς καλῶς μὲν τυμπανίζει Καὶ διαψάλλει τρίγωνος* [fr. 1 Mein.]: Plut. Reip. III, 399 C: *οὐκ ἄρα, ἦν δ' ἐγώ, πολυχορδίας γε οὐδὲ παναρμονίου ἡμῖν θεήσει ἐν ταῖς ᾠδαῖς τε καὶ μέλεσιν· Οὔ μοι, ἔφη, φαίνεται. Τριγώνων ἄρα καὶ πηκτίδων καὶ πάντων ὀργάνων, ὅσα πολύχορδα καὶ πολυαρμόνια, δημιουργοὺς οὐ θρέψομεν; Οὐ φαινόμεθα. Τί δέ; αὐλοποιούς τε καὶ αὐλητάς* [s. unt. §. 361, D.] *παριδόντες εἰς τὴν πόλιν; ἢ οὐ τοῦτο πολυχορδότατον, καὶ αὐτὰ τὰ παναρμόνια αὐλοῦ τυγχάνει ὄντα μιμήματα* [s. unt. §. 361 D.]; *ἆρα δή, ἦ δ' ὅς*: Plutarch. de unius in republ. dom. c. 4, p. 826: *ἤδη μέντοι συμβούλῳ Πλάτωνι χρησάμενος, πηκτίδας, σαμβύκας καὶ ψαλτήρια πολύφθογγα καὶ βαρβίτους καὶ τρίγωνα παραπέμψας, τὴν λύραν καὶ τὴν κιθάραν προτιμήσει.* — c: *Μάγαδις*: Poll. Onom. IV, 61: *μαγάδη* [vulg. *μάγαδα*]: codd. *μαγάδιν* et *μαγάδην*: v. Seber. et Jung. ad h. l.] *δ' ὀνομάζει μὲν Ἀνακρέων· τὴν δὲ εὕρεσιν αὐτῆς Κάνθαρος* [v. Suid. s. v., Meinek. Comicc. Grr. frr. I, 251.] *Θρῃξὶ* [s. unt.] *προτίθησιν*: Hesych. *μαγάδεις*: *αὐλοὶ κιθαριστήριοι* [s. ob. §. 9.] *ὄργανον ψαλτικόν· οἱ δὲ καὶ τὸ ψάλλειν Μαγάζειν* [sic] *λέγουσιν*: id. *μαγάδιον· ᾠδεῖον κιθάρισμα*: id. *μαγαλίδες· ὄργανα ψαλτικά*, ubi v. Albert.: Phot. Lex. p. 239: *μάγαδις· ψαλτικὸν ὄργανον· οὕτω Σοφοκλῆς*: v. G. Dind. ad Athen. XIV, 634 C. Bergk. ad Anacr. frr. p. 86. — Athen. XIV, 634 F: *ἡ γὰρ μαγωδὶς ὄργανόν ἐστι ψαλτικόν, ὡς Ἀνακρέων* [s. unt.] *φησί, Λυδῶν τε εὕρημα· διὸ καὶ τὰς Λυδὰς ψαλτρίας φησὶν εἶναι ὁ Ἴων ἐν τῇ Ὀμφάλῃ* [fr. 7 Nieberd.] *διὰ τοῦτων Ἀλλ' εἶα, Λυδαὶ ψάλτριαι, παλαιοθετῶν Ὕμνων ἀοιδοὶ τὸν ξένον κοσμήσατε· Θεόφιλος δ' ὁ κωμῳδιοποιὸς* [v. Meinek. Comicc. Grr. frr. I, p. 434.] *ἐν Νεοπτολέμῳ καὶ τὸ τῇ μαγάδι* [μαγὰς: v. Hesych. s. v., Cyrill. ap. Schow. Hesych. p. 514 not.] *διαψάλλειν μαγαδίζειν λέγει ἐν τούτοις Πονηρὸν υἱὸν καὶ πατέρα καὶ μητέρα Ἔστι μαγαδίζειν ἐπὶ τροχοῦ καθημένους· Οὐδεὶς γὰρ ἡμῶν ταυτὸν ᾄσεται μέλος· Εὐ-*

Digitized by Google

Die Form der Magadis.
Die Zahl der Saiten auf der Magadis. — Die Verschiedenheit der Zahl der Saiten. — Die Art des Spielens.
Die Stimmung der Saiten.
Der Gebrauch der Magadis in der Chorpoesie.
b: Die Pektis.
Die Ansichten der Alten über die Pektis.
Das Verhältnifs der Pektis zur Magadis.

φορίων [fr. p. 82 Mein.] δ' ἐν τῷ περὶ Ἰσθμίων παλαιὸν μέν φησι τὸ ὄργανον εἶναι τὴν μάγαδιν, μετασκευασθῆναι δ' οὐκέτι ποτὲ καὶ σαμβύκην [s. unt. f.] μετονομασθῆναι. πλεῖστον δ' εἶναι τοῦτο τὸ ὄργανον ἐν Μυτιλήνῃ, ὡς καὶ μίαν τῶν Μουσῶν ἔχουσαν αὐτὸ ὑπὸ Λεσβοθέμιδος ποιηθῆναι ἀρχαίου ἀγαλματοποιοῦ. Μίναιχμος δ' ἐν τοῖς περὶ τεχνιτῶν τὴν πηκτίδα [s. unt. b.], ἣν τὴν αὐτὴν εἶναι τῇ μαγάδι, Σαπφὼ φησιν εὑρεῖν [v. Bergk. ad Anacr. frr. p. 86.]. Ἀριστόξενος δὲ τὴν μάγαδιν καὶ τὴν πηκτίδα χωρὶς πλήκτρου διὰ ψαλμοῦ παρίχεσθαι τὴν χρείαν, διόπερ καὶ Πίνδαρον εἰρηκέναι ἐν τῷ πρὸς Ἱέρωνα σκολίῳ τὴν μάγαδιν ὀνομάσαντα ψαλμὸν ἀντίφθογγον [s. ob. p. 336.], διὰ τὸ δύο γενῶν ἅμα καὶ διὰ πασῶν ἔχειν τὴν συνῳδίαν ἀνδρῶν τε καὶ παίδων [v. lect. γυναικῶν: Boeckh. M. P. 262.]· καὶ Φρύνιχος δ' ἐν Φοινίσσαις εἴρηκε Ψαλμοῖσιν κτλ. [s. ob. §. 283, β.]. καὶ Σοφοκλῆς ἐν Μύσοις Πολὺς κτλ. [s. ob. p. 343.]. — Athen. XIV, 636 F: Δοῦρις δ' ἐν τῷ περὶ τραγῳδίας ὠνομάσθαι φησὶ τὴν μάγαδιν ἀπὸ Μάγδιος, Θρᾳκὸς γένος [s. ob. p. 344.]. Ἀπολλόδωρος δ' ἐν τῇ πρὸς τὴν Ἀριστοκλείους ἐπιστολὴν ἀντιγραφῇ, ὃ νῦν, φησίν, ἡμεῖς λέγομεν ψαλτήριον [s. ob. b, p. 343.], τοῦτ' εἶναι μάγαδιν, ὁ δὲ κλεψίαμβος [s. unt. §. 358, e.] κληθείς, ἔτι δὲ ὁ τρίγωνος καὶ ὁ ἔλυμος [s. unt. §. 359, γ, α.] καὶ τὸ ἐννεάχορδον ἀμαυρότερα τῇ χρείᾳ καθίστηκε. — Athen. XIV, 634 C: ἀλλὰ μὴν .. πολλάκις καὶ αὐτὸς ἐν ἐννοίᾳ γίνομαι, .. περὶ τῆς μαγάδιδος καλουμένης, πότερον αὐλῶν εἶδος ἢ κιθάρας ἐστίν· ὁ μὲν γὰρ ἡδιστος Ἀνακρέων λέγει που [fr. 5 Bergk.] ψάλλω δ' εἴκοσι [Λυδὸν] Χορδαῖσιν μαγάδην ἔχων, Ἰὴ Λεύκασπι· σὺ δ' ἠβᾷς [s. Bergk. in Zimmermann. Zeitschr. f. d. Alterthumsw. 1840, N. 103, p. 845.]· Ἴων δ' ὁ Χῖος ἐν Ὀμφάλῃ [fr. 6 Nieb.] ὡς περὶ αὐλῶν λέγει διὰ τούτων· Λυδός τε μάγαδις αὐλὸς ἡγείσθω βοῆς: Boeckh. M. P. 261 sqq. —S. ob. §. 289, p. 313. Plehn. Lesbb. p. 153 sqq. — Athen. XIV, 637 A: καὶ Ἀλκμὰν [fr. 38 Schneidew.] δέ φησι Μάγαδιν δ' ἀποθέσθαι. Σοφοκλῆς δ' ἐν Θαμύρᾳ [fr. 228 G. Dind.] Πηκταὶ δὲ λύραι καὶ μαγάδιδες Τά τ' ἐν Ἕλλησι ξόαν' ἡδυμελῆ. Τελέστης [s. ob. §§. 18. 256 figg.] δ' ἐν Ὑμεναίῳ διθυράμβῳ πεντάχορδόν φησιν αὐτὴν εἶναι διὰ τούτων Ἄλλος δ' ἄλλαν κλαγγὰν ἰείς Κερατόφωνον ἐρέθιζε μάγαδιν, ἐν Πενταχόρδῳ [Boeckh. M. P. 263.] χορδᾶν ἀριθμῷ Χεῖρα καμψιδίαυλον ἀναστροφῶν τάχος. — b: Πηκτίς: Hesych.: πηκτίς· πανδούριον, ψαλτήριον, σύριγξ, ὄργανον. — Athen. XIV, 635 E: πηκτὶς δὲ καὶ μάγαδις ταυτόν, καθά φησιν ὁ Ἀριστόξενος καὶ Μίναιχμος ὁ Σικυώνιος ἐν τοῖς περὶ τεχνιτῶν· καὶ τὴν Σαπφὼ δέ φησιν οὗτος, ἥτις ἐστὶν Ἀνακρέοντος πρεσβυτέρα, πρώτην χρήσασθαι τῇ πηκτίδι. ὅτι δὲ καὶ Τέρπανδρος ἀρχαιότερος Ἀνακρέοντος δῆλον: s. ob. p. 313: ibid. 636 A: Λεογένης δ' ὁ τραγικὸς διαφέρειν πηκτίδα μαγάδιδος λέγων οὕτως ἐν τῇ Σεμέλῃ Καίτοι κτλ., s. ob.

Digitized by Google

Der Unterschied zwischen der ursprünglichen und Hellenischen Pektis. — Der Ursprung der Pektis. — Der volksthümliche Gebrauch.
Die Zahl der Saiten. — Die Art des Spielens.
Die Ausbildung der Pektis durch die Sappho.
Der Charakter der Pektis. — Uebereinstimmung des Charakters der Pektis mit dem Charakter der Poesie der Sappho.
Die spätere Zeit.
ε, α: Das Epigonion.
Epigonos der Erfinder.
Gestalt, Umfang und sonstige Beschaffenheit des Epigonion.
β: Blick auf den Tripous des Pythagoras von Zakynthos.

---

§. 287, 4, a: das. B: *καὶ Φίλλις δ' ὁ Δήλιος ἐν δευτέρῳ περὶ μουσικῆς διαφέρειν φησὶ πηκτίδα μαγάδιδος, λίγων οὕτως· Φοίνικες κτλ.*, s. ob. p. 342: v. Plehn. Lesbb. p. 155. — Phot. Lex. p. 427 angl.: *πηκτίς: πανδούριον· ἤτοι Λύδιον ὄργανον, χωρὶς πλήκτρου ψαλλόμενον*: Athen. IV, 182 F: *Ἀριστόξενος δ' ἔκφυλα ὄργανα καλεῖ φοίνικας καὶ πηκτίδας καὶ μαγάδιδας σαμβύκας τε καὶ τρίγωνα καὶ κλεψιάμβους καὶ σκινδαψοὺς καὶ τὸ ἐννεάχορδον καλούμενον*: s. unt. — Clem. Alex. Paedag. II, 4, §. 42, p. 71 Sylb.: *χρῶνται γοῦν παρὰ τοὺς πολέμους αὐτῶν, Τυρρηνοὶ μὲν τῇ σάλπιγγι* [s. unt. §. 359, c.], *σύριγγι δὲ Ἀρκάδες, Σικελοὶ δὲ πηκτίσιν καὶ Κρῆτες λύρᾳ.* — Athen. IV, 183 B: *Ἀναξίλας ἐν Λυροποιῷ· Ἐγὼ δὲ βαρβίτους τριχόρδους, πηκτίδας, Κιθάρας, λύρας, σκινδαψὸν ἐξηρτυόμαν. Σώπατρος δὲ ὁ παρῳδὸς ἐν τῷ ἐπιγραφομένῳ Μύσται δίχορδόν εἶναί φησι τὴν πηκτίδα λέγων οὕτως Πηκτὶς δὲ Μούσῃ γαυριῶσα βαρβάρῳ Δίχορδος εἰς τὴν χειρά πως κατεστάθη.* — Neue ad Sapph. frr. p. 11. — Suid. s. *πηκτίς· πηκτίδος· πανδουρομαχαιρα κριωκόπος· παρὰ δὲ Ἀριστοφάνει ἐν Θεσμοφοριαζούσαις* [vs. 1218] *εἶδος ὀργάνου κιθαρῳδικοῦ· Τὴν γραῦν ἐρωτᾷς, ἢ φέρειν τὰς πηκτίδας; ἢ εἶδος ἀκολάστου σχήματος· καὶ ἐν Ἐπιγράμματι* [Anth. Palat. V, 139, 1.], *Ἀδὺ μέλος, ναὶ Πᾶνα τὸν Ἀρκάδα, πηκτίδι μέλπεις.* — S. ob. §. 304, 7. — Schol. Rav. ad Arist. Thesmoph. 1218: *πηκτὶς ὄργανον κιθαρ.... ἔφερεν δὲ τοῦτο· ἦν γὰρ μετ' αὐτῆς ἡ αὐλητρίς*: Jacobs. ad Anthol. Ann. III, 1, p. 25. Lobeck. Aglaoph. II, p. 1016 sqq. — ε, α: *Ἐπιγόνειον*: s. ob. §. 20. — Athen. IV, 183 C: *μνημονεύει δ' ὁ Ἰόβας καὶ τοῦ λυροφοίνικος καὶ τοῦ ἐπιγονείου, ὃ νῦν εἰς ψαλτήριον ὄρθιον μετασχηματισθὲν διασώζει τὴν τοῦ χρησαμένου προσηγορίαν· ἦν δ' ὁ Ἐπίγονος κτλ.*: ib. XIV, 637 F: *ἔναυλον κιθάρισιν* [s. unt. §. 364, 4.], *ᾗ πρῶτοι οἱ περὶ Ἐπίγονον ἐχρήσαντο*: Poll. Onom. IV, 59: *τὸ δὲ ἐπιγόνειον ἔχει τετταράκοντα χορδὰς, ὥστε καὶ τὸ Σιμίκιον πέντε καὶ τριάκοντα*: Boeckh. M. P. 260. — β: Athen. XIV, 637 C: *ὁ Πυθαγόρου τοῦ Ζακυνθίου* [s. ob. §. 21.] *τρίπους ... ἦν δὲ παραπλήσιος μὲν Δελφικῷ τρίποδι καὶ τοὔνομ' ἐντεῦθεν ἔσχε, τὴν δὲ χρῆσιν τριπλῆς κιθάρας παρείχετο. τῶν γὰρ ποδῶν ἑστώτων ἐπί τινος βάσεως εὐστρόφου, καθάπερ αἱ τῶν περιάκτων δίφρων κατασκευάζονται θέσεις, τὰς μέσας τρεῖς χώρας τὰς ὑπὸ ποδὸς ἑπὶ πόδα διαστώσας ἐνέτεινε χορδαῖς, ὑπερθεὶς ἑκάστῃ πῆχυν καὶ κάτω προσαρμόσας χορδοτόνια, καὶ τὸν ἐπάνω κόσμον κοινὸν τοῦ λίβητος καὶ τῶν*

f: Die Sambyke.

Das Wort und seine Formen. — *Σαμβύκη* und *ἰαμβύκη*.

Die Angaben der Alten über die Erfindung der *Σαμβύκη*.

Die Parther und Troglodyten. — Sambyx. — Sibylle. — Ibykos.

Die Form der Sambyke und ihre Saitenzahl.

Der Umfang und Charakter der Sambyke. — Der Zusammenhang der *σαμβύκη* mit den Iamben.

Der Gebrauch der Sambyke bei den Spätern.

Das Verhältnifs der Sambyke zur Magadis, zum Barbiton und Trigonon.

παρηρτημένων ἐνίων ἀποδούς· ἐξ ὧν καὶ τὴν φαντασίαν εἶχεν ἀστείαν καὶ τὸν ἦχον προσέβαλλεν ἀδρότερον· διένειμε δ' ἑκάστῃ χώρᾳ τὰς τρεῖς ἁρμονίας [s. ob. §. 273, c.], *τήν τε Δωριστὶ καὶ Λυδιστὶ καὶ Φρυγιστί· καὶ καθεζόμενος αὐτὸς ἐπί τινος δίφρου περὶ ταυτὸν συμμέτρως ἔχοντα τῇ συστάσει, διείρας δὲ τὴν εὐώνυμον χεῖρα πρὸς τὴν ἐπιβολήν, καὶ τῇ ἑτέρᾳ χρησόμενος* [s. unt. §. 358, f.] *τῷ πλήκτρῳ, καθ' ὁποίαν ἂν πρώτην ᾕρεῖτο τῶν ἁρμονιῶν, μετέστρεφε τῷ ποδὶ τὴν βάσιν εὔτροχον οὖσαν, καὶ πρὸς ἑτέραν πλευρὰν πάλιν ἐπιβάλλων ἐχρῆτο καὶ πάλιν ἑτέραν· οὕτω δ' ὀξέως ὑπὸ τὴν χεῖρα προσῆγεν αὐτῷ τὰ συστήματα ἡ τῆς βάσεως εὐκινησία τῷ ποδὶ φανομένη, καὶ τὴν χειροθεσίαν ἐπὶ τοσοῦτον εἰθίσθη κατοξύνειν, ὥστ', εἴ τις μὴ ξυνορῴη τὸ γινόμενον, ἀλλὰ διὰ τῆς ἀκοῆς μόνον κρίνοι, νομίζειν τριῶν κιθαριστῶν ἀκούειν διαφόρως ἡρμοσμένων. καὶ τοῦτο τὸ ὄργανον θαυμασθὲν ἰσχυρῶς μετὰ τὴν ἐκείνου βίον ἐξέλιπεν εὐθέως. — f: Σαμβύκη:* Suid. s. *σαμβύκαι· ὄργανα μουσικὰ τρίγωνα, ἐν οἷς τοὺς ἰάμβους* [s. ob. p. 334.] *ᾖδον· οἱ δὲ, ἰαμβύκαι. ταύτην τὴν ἰαμβύκην πρῶτος Ἴβυκος ἐφεῦρεν· ἔστι δὲ εἶδος κιθάρας τριγώνου:* Hesych. s. *Ζαμβίκη· μουσικὸν ὄργανον*, v. Albert.: Hesych. s. *σαμβύκη, ἰαμβύκη:* auch *ἡ σάμβυξ:* v. Schweighaeus. ad Polyb. V, 37, 10. VIII, 6, 2. — Phot. Lex. p. 100: *ἰαμβύκη: ὄργανον μουσικόν· εἴρηται δὲ ἐν ἑτέροις καὶ ὠνομάσθη, ὡς φασίν, ὅτι πρὸς αὐτὸ ἰάμβους ᾖδον· ἡ δὲ σαμβύκη νεώτερον· καὶ οὐκ ἀπὸ Σάμβυκός τινος εὑρέθη:* id. ibid.: *ἰαμβύκαι: ὄργανα μουσικὰ τρίγωνα, ἐν οἷς τοὺς ἰάμβους ᾖδον· οἱ δὲ σαμβύκαι.* — Athen. XIV, 633 F: *μετὰ δὲ ταῦτα ζητήσεως γενομένης περὶ σαμβύκης, ἔφη ὁ Μασούριος, ὀξύφθογγον εἶναι μουσικὸν ὄργανον τὴν σαμβύκην, διειλίχθαι τε περὶ αὐτοῦ Εὐφορίωνα τὸν ἱστοποιὸν ἐν τῷ περὶ Ἰσθμίων* [p. 83 Mein.], *χρῆσθαι φήσας αὐτῷ Πάρθους καὶ Τρωγλοδύτας, τετραχόρδῳ ὄντι· ἱστορεῖν δὲ τοῦτο Πυθαγόραν ἐν τῷ περὶ τῆς ἐρυθρᾶς θαλάσσης.* — Athen. XIV, 637 B: *τῇ σαμβύκῃ πρώτην φησὶ χρήσασθαι Σίβυλλαν Σκάμων ὁ προειρημένος· ὀνομασθῆναι δ' αὐτὴν εὑρεθεῖσαν ὑπὸ Σκάμβυκος τινός:* Choerob. ap. Bekk. Anecdd. III, 1417: *Σάμβυξ Σαμβύκος κύριον, ἔστι δὲ καὶ ποταμὸς καὶ ἔθνος:* add. Strab. X, 471 sup. p. 342. — Schneidew. ad Ibyc. Rell. p. 71. — Aristid. Quint. de Mus. II, 101: *τὴν δὲ σαμβύκην, πρὸς θηλύτητα* [sc. *ἔστιν εὑρεῖν ἀναλογοῦσαν.*]. *ἀγεννῆ δὲ οὖσαν καὶ μετὰ πολλῆς ὀξύτητος, διὰ τὴν μικρότητα τῶν χορδῶν, εἰς ἔκλυσιν περιάγουσαν:* v. Boeckh. Pind. II, 2, p. 655. — Athen. IV, 129 A: *ἤδη .. ἐπεισβάλλουσιν αὐλητρίδες καὶ μουσουργοὶ καὶ σαμβυκίστριαί τινες Ῥόδιαι, ἱμοὶ μὲν*

Digitized by Google

§. 358. d: Die Kithara nebst ihren Unterarten.

α: Die Kithara und Kitharis. — Die verschiedenen Ansichten der Alten.

Das Alter und die Erfindung der Kithara. — Apollo. — Orpheus. — Amphion. — Linos.

Die Gestalt der Kithara. — Der Ton und Umfang der Kithara. — Die Saitenzahl des Instruments. — Die Kithara in ihrem Verhältnisse zum Gesange und zu andern Instrumenten.

Die Darstellung der Lyra und der Kithara auf Kunstwerken.

Der Homerische Sprachgebrauch. — Die Spätern.

β: Die Phorminx.

Die Phorminx bei Homeros.

Das Tragband. — Die Zahl der Saiten.

γυμναὶ δοκῶ, πλὴν ἔλεγόν τινες αὐτὰς ἔχειν χιτῶνας· ἀπαρξάμεναί τε ἀπῆλθον: Fest. s. sambuca p. 325 ibiq. Mueller.: Liv. XXXIX, 6: *luxuriae enim peregrinae origo ab exercitu Asiatico invecta in urbem est. ii primum lectos aeratos, ... monopodia et abacos Romam advexerunt. tunc psaltriae sambucistriaeque et convivalia ludionum oblectamenta addita epulis:* v. Spanhem. ad Callim. h. in Del. vs. 253. Lobeck. Aglaoph. II, 1017.

